] ἢ παίδα Πόρκω
Χά]ριτες δὲ Διὸς δ[ό]μον
]σιν ἐρογλεφάροι·
]τάτοι
]ṭα δαίμων
]ι φίλοις
]ωκε δῶρα
]γαρέον
]ώλεσ' ἥβα
]ρονον
].ταίας
]έβα· τῶν δ' ἄλλος ἰῶι
] μαρμάρωι μυλάκρωι
].εν Ἀΐδας
]αυτοι
]΄πον· ἄλαστα δὲ
ϝέργα πάσον κακὰ μησαμένοι·
ἔστι τις σιῶν τίσις·
ὁ δ' ὄλβιος, ὅστις εὔφρων
ἁμέραν [δι]απλέκει
ἄκλαυτος· ἐγὼν δ' ἀείδω
Ἀγιδῶς τὸ φῶς· ὁρῶ
ϝ' ὥτ' ἅλιον, ὅνπερ ἇμιν
Ἀγιδὼ μαρτύρεται
φαίνην· ἐμὲ δ' οὔτ' ἐπαινῆν
οὔτε μωμήσθαι νιν ἁ κλεννὰ χοραγὸς
οὐδ' ἁμῶς ἐῆι· δοκεῖ γὰρ ἤμεν αὔτα



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415767245/11 UNIVERSITÄT LEIPZIG